ἄγγελον τύπτοντα ἐν τῷ λαῷ καὶ εἶπεν Ἰδοὺ ἐγώ εἰμι ἠδίκησα
καὶ ἐγώ εἰμι ὁ ποιμὴν ἐκακοποίησα, καὶ οὗτοι τὰ πρόβατα τί ἐποί-
ησαν; γενέσθω δὴ ἡ χείρ σου ἐν ἐμοὶ καὶ ἐν τῷ οἴκῳ τοῦ πα-
18 τρός μου. [18]καὶ ἦλθεν Γαδ πρὸς Δαυιδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ εἶ-
πεν αὐτῷ Ἀνάβηθι καὶ στῆσον τῷ κυρίῳ θυσιαστήριον ἐν τῷ
19 ἅλωνι Ορνα τοῦ Ιεβουσαίου. [19]καὶ ἀνέβη Δαυιδ κατὰ τὸν λόγον
20 Γαδ, καθ᾽ ὃν τρόπον ἐνετείλατο αὐτῷ κύριος. [20]καὶ διέκυψεν Ορνα
καὶ εἶδεν τὸν βασιλέα καὶ τοὺς παῖδας αὐτοῦ παραπορευομένους
ἐπάνω αὐτοῦ, καὶ ἐξῆλθεν Ορνα καὶ προσεκύνησεν τῷ βασιλεῖ ἐπὶ
21 πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν. [21]καὶ εἶπεν Ορνα Τί ὅτι ἦλθεν ὁ
κύριός μου ὁ βασιλεὺς πρὸς τὸν δοῦλον αὐτοῦ; καὶ εἶπεν Δαυιδ
Κτήσασθαι παρὰ σοῦ τὸν ἅλωνα τοῦ οἰκοδομῆσαι θυσιαστήριον
22 τῷ κυρίῳ, καὶ συσχεθῇ ἡ θραῦσις ἐπάνω τοῦ λαοῦ. [22]καὶ εἶπεν
Ορνα πρὸς Δαυιδ Λαβέτω καὶ ἀνενεγκέτω ὁ κύριός μου ὁ βασι-
λεὺς τῷ κυρίῳ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ· ἰδοὺ οἱ βόες εἰς
23 ὁλοκαύτωμα, καὶ οἱ τροχοὶ καὶ τὰ σκεύη τῶν βοῶν εἰς ξύλα. [23]τὰ
πάντα ἔδωκεν Ορνα τῷ βασιλεῖ, καὶ εἶπεν Ορνα πρὸς τὸν βασιλέα
24 Κύριος ὁ θεός σου εὐλογήσαι σε. [24]καὶ εἶπεν ὁ βασιλεὺς πρὸς
Ορνα Οὐχί, ὅτι ἀλλὰ κτώμενος κτήσομαι παρὰ σοῦ ἐν ἀλλάγματι
καὶ οὐκ ἀνοίσω τῷ κυρίῳ θεῷ μου ὁλοκαύτωμα δωρεάν· καὶ ἐκτή-
σατο Δαυιδ τὸν ἅλωνα καὶ τοὺς βόας ἐν ἀργυρίῳ σίκλων πεντή-
25 κοντα. [25]καὶ ᾠκοδόμησεν ἐκεῖ Δαυιδ θυσιαστήριον κυρίῳ καὶ ἀνή-
νεγκεν ὁλοκαυτώσεις καὶ εἰρηνικάς· καὶ προσέθηκεν Σαλωμων ἐπὶ
τὸ θυσιαστήριον ἐπ᾽ ἐσχάτῳ, ὅτι μικρὸν ἦν ἐν πρώτοις. καὶ ἐπή-
κουσεν κύριος τῇ γῇ, καὶ συνεσχέθη ἡ θραῦσις ἐπάνωθεν Ισραηλ.

17 τυπτ.] pr. τον *O* | ηδικησα B**O*†] ημαρτηκα rel. (-τον *L*†) | και εγω — εκακοπ. > B*† | ειμι ult. > *OL*† || 18 τω ult.] τη A*L*: cf. 16 || 19 γαδ B*O*†] + του προφητου rel. || 21 τον 2°] την A*L*: cf. 16 | συσχεθη] συνεσχεθη B; συνεσχεσθη (sic) A†: item A† in 25 | επανω B*O*†] απο *L*†, επανωθεν rel. || 22 ολοκαυτωμα] -τωματα A†; -τωσιν *L*†: item Ioseph. Antiq. VII 331 Niese (ambo praebent etiam αροτρα pro τροχοι) || 23 σου > A† || 24 αλλα] > *O*†, αλλ η pl. | κυριω] + μου B† | τον] την A*L*: cf. 16 | αλω A*L*, sed in 18. 21 etiam A αλωνι et αλωνα || 25 εκει > A† | κυριω] pr. τω *OL*

Subscr. βασιλειων β′ BA. ad hunc librum *L*† et Ioseph. Antiq. VII trahunt finem narrationis de Dauide Regn. III 1 1—2 11, cf. III 2 11 et subscriptio codicis 554 ad Regn. II εν τω εξαπλω και τοις ακριβεστεροις των αντιγραφων εως ωδε πληρουται η δευτερα των βασιλειων, διοδωρος δε συναπτει ταυτη τα εως της του δαυιδ τελευτης, ομοιως θεοδωρητος; cf. Rahlfs Sept.-Stud. 3 (1911), § 46